# MEGASTHENIS INDICA.

FRAGMENTA COLLEGIT

COMMENTATIONEM ET INDICES ADDIDIT

E. A. SCHWANBECK

DR. PHIL.

BONNAE.

SUMPTIBUS PLEIMESII BIBLIOPOLAE.

MDCCCXLVI.

Digitized by Google

# (LIBER I.)

## FRAGM. II.

Arr. exp. Alex. V. 6. 2—11.

### DE INDIAE FINIBUS, NATURA ET FLUMINIBUS.

*(Cf. epit. 1.)*

1. Τῆς ὡς ἐπὶ νότον Ἀσίας τετραχῇ αὖ τεμνομένης μεγί- 2.
στην μὲν μοῖραν τὴν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ
Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ τῷ σατράπῃ τῆς
Ἀραχωσίας· πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοτ-
τον τὸν Ἰνδῶν βασιλέα· ἐλαχίστην δὲ ὅσην ὁ Ευφράτης πο- 3.
ταμὸς ἀπείργει ὡς πρὸς τὴν ἡμετέραν θάλασσαν· δύο δὲ
αἱ μεταξὺ Εὐφράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργό-
μεναι αἱ δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβαλεῖν.
2. Ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε καὶ ἀφη- 4.
λιώτην ἄνεμον ἔστ' ἐπὶ τὴν μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ·
τὸ πρὸς βοῤῥᾶν δὲ αὐτῆς ἀπείργειν τὸν Καύκασον τὸ ὄρος
ἔστ' ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολήν· τὴν δὲ πρὸς ἑσπέραν
τε καὶ ἄνεμον Ἰάπυγα ἔστ' ἐπὶ τὴν μεγάλην θάλασσαν ὁ
3. Ἰνδὸς ποταμὸς ἀποτέμνεται. Καί ἐστι πεδίον ἡ πολλὴ αὐ- 5.
τῆς· καὶ τοῦτο, ὡς εἰκάζουσιν, ἐκ τῶν ποταμῶν προσκεχω-
σμένον· εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ
πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκάστοις
ποιήματα, ὥστε καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποτα-
μοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρμου τέ τι πεδίον 6.

*λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνίσχων ἐξ ὄρους Μητρὸς
Δινδυμήνης παρὰ πόλιν Σμύρναν Αἰολικὴν ἐκδιδοῖ ἐς θά-
λασσαν· καὶ ἄλλο Καΰστρου πεδίον Λύδιον ἀπὸ Λυδίου
ποταμοῦ, καὶ Καΐκου ἄλλο ἐν Μυσίᾳ, καὶ Μαιάνδρου τὸ
7. Καρικὸν ἔστ' ἐπὶ Μίλητον πόλιν Ἰωνικήν. [Αἴγυπτόν τε 3a.
Ἡρόδοτός τε καὶ Ἑκαταῖος οἱ λογοποιοὶ (ἢ εἰ δή του ἄλλου
ἢ Ἑκαταίου ἐστὶ τὰ ἀμφὶ τῇ γῇ τῇ Αἰγυπτίᾳ ποιήματα)
δῶρόν τε τοῦ ποταμοῦ ἀμφότεροι ὡσαύτως ὀνομάζουσι, καὶ
οὐκ ἀμαυροῖς τεκμηρίοις ὅτι ταύτῃ ἔχει, Ἡροδότῳ ἐπιδέ-
δεικται· ὡς καὶ τὴν γῆν αὐτὴν τυχὸν ποταμοῦ εἶναι ἐπώνυμον.
8. Αἴγυπτος γὰρ τὸ παλαιὸν ὁ ποταμὸς ὅτι ἐκαλεῖτο, ὅντινα 3b.
νῦν Νεῖλον Αἰγύπτιοί τε καὶ οἱ ἔξω Αἰγύπτου ἄνθρωποι
ὀνομάζουσιν, ἱκανὸς τεκμηριῶσαι Ὅμηρος λέγων ἐπὶ τῇ ἐκ-
βολῇ τοῦ Αἰγύπτου ποταμοῦ τὸν Μενέλεων στῆσαι τὰς νέας.]
9. Εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις, καὶ οὐ μεγάλοι 4.
οὗτοι ποταμοὶ ἱκανοὶ γῆν πολλὴν ποιῆσαι ἐς θάλασσαν προ-
χεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν ἄνω
τόπων, ἔνθεν περ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδ' ὑπὲρ τῆς Ἰν-
δῶν ἄρα χώρας ἐς ἀπιστίαν ἰέναι ἄξιον, ὅπως πεδίον τε ἡ
πολλή ἐστι, καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκε-
10. χωσμένον. Ἕρμον μὲν γὰρ καὶ Κάϋστρον καὶ Κάϊκόν τε καὶ 5.
Μαίανδρον, ἢ ὅσοι πολλοὶ ποταμοὶ τῆς Ἀσίας ἐς τήνδε τὴν
ἐντὸς θάλασσαν ἐκδιδοῦσιν, οὐδὲ ξύμπαντας ξυντεθέντας ἑνὶ
τῶν Ἰνδῶν (ποταμῶν) ἄξιον ξυμβαλεῖν πλήθους ἕνεκα τοῦ
ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε Νείλου
ὕδωρ τοῦ Αἰγυπτίου οὔτε ὁ Ἴστρος ὁ κατὰ τὴν Εὐρώπην
ῥέων ἄξιοι ξυμβαλεῖν· ἀλλ' οὐδὲ τῷ Ἰνδῷ ποταμῷ ἐκεῖνοί 6.
11. γε πάντες ξυμμιχθέντες ἐς ἴσον ἔρχονται· ὃς μέγας τε εὐ-
θὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδεκα ποταμοὺς
πάντας τῶν Ἀσιανῶν μείζονας παραλαβὼν καὶ τῇ ἐπωνυμίᾳ
κρατήσας οὕτως ἐκδιδοῖ ἐς θάλασσαν *).*

---

*) **Strab. XV. 1. 32. p. 700.**

*[Πάντες δ' οἱ λεχθέντες ποταμοὶ συμβάλλουσιν εἰς ἕνα τὸν Ἰνδόν· ὕστατος δ' ὁ Ὕπανις.] Πεντεκαίδεκα δὲ τούς σύμπαντάς φασι συῤῥεῖν τούς γε ἀξιολόγους.*

Digitized by Google

# FRAGM. III.

**Arr. Ind. 2. 1—7.**

## DE FINIBUS INDIAE.

*(Cf. epit. 1.)*

1. [*Τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ ὡς ἕω, τοῦτό μοι ἔστω ἡ τῶν Ἰνδῶν
γῆ, καὶ Ἰνδοὶ οὗτοι ἔστωσαν. Ὅροι δὲ τῆς Ἰνδῶν γῆς πρὸς μὲν
2. βορέου ἀνέμου ὁ Ταῦρος τὸ ὄρος. Καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν
τῇ γῇ ταύτῃ· ἀλλ' ἄρχεται μὲν ὁ Ταῦρος ἀπὸ θαλάσσης τῆς κατὰ
Παμφύλους τε καὶ Λυκίην καὶ Κίλικας· παρατείνει τε ἔστε τὴν
3. πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν· ἄλλῃ δὲ ἄλλο
καλέεται τὸ ὄρος, τῇ μὲν Παραπαμισὸς, τῇ δὲ Ἡμωδός·
ἄλλῃ δὲ Ἥμαον κληΐζεται· καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει
4. οὐνόματα· Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες
Καύκασον αὐτὸ ἐκάλεον· ἄλλον τοῦτον Καύκασον, οὐ τὸν
Σκυθικόν· ὡς καὶ τὰ ἐπέκεινα τοῦ Καυκάσου λόγον κατέχειν
5. ὅτι ἦλθεν Ἀλέξανδρος. Τὰ πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν
γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείργει ἔστε ἐπὶ τὴν μεγάλην θά-
λασσαν, ἵναπερ αὐτὸς κατὰ δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα
ἀλλήλοισι τὰ στόματα, κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ
6. συνεχέα· ἀλλ' ὡς τὰ τοῦ Νείλου, ὑπὸ τῶν Δέλτα ποιέεται τὸ
Αἰγύπτιον· ὧδέ τι καὶ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς
ποταμὸς οὐ μεῖον τοῦ Αἰγυπτίου· καὶ τοῦτο Πάτταλα τῇ
7. Ἰνδῶν γλώσσῃ καλέεται· Τὸ δὲ πρὸς νότου τε ἀνέμου καὶ
μεσημβρίης, αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν Ἰνδῶν
γῆν, καὶ τὰ πρὸς ἕω αὐτὴ ἡ θάλασσα ἀπείργει.*]

---

III. 2. *οὐ Ταῦρος.* — Emendatio est Schmiederi. Codd. *ὁ Ταῦρος.*
III. 3. *Ἥμαον.* — Schmied. coniecit *Ἴμαος.*

Digitized by Google

## FRAGM. IV.

**Strab. XV. 1. 11. p. 689.**

### DE FINIBUS ET MAGNITUDINE INDIAE.
(*Cf. epit. 1—2. et annot. 24.*)

*Τὴν Ἰνδικὴν περιώρικεν ἀπὸ μὲν τῶν ἄρκτων τοῦ* 1.
*Ταύρου τὰ ἔσχατα· ἀπὸ δὲ τῆς Ἀριανῆς μέχρι τῆς ἑῴας θα-*
*λάττης, ἅπερ οἱ ἐπιχώριοι κατὰ μέρος Παροπάμισόν τε καὶ*
*Ἠμωδὸν καὶ Ἴμαον καὶ ἄλλα ὀνομάζουσι· Μακεδόνες δὲ*
*Καύκασον· ἀπὸ τῆς ἑσπέρας ὁ Ἰνδὸς ποταμός· τὸ δὲ νότιον* 2.
*καὶ τὸ προσεῷον πλευρὸν πολὺ μείζω τῶν ἑτέρων ὄντα προ-*
*πέπτωκεν εἰς τὸ Ἀτλαντικὸν πέλαγος, καὶ γίνεται ῥομβοειδὲς*
*τὸ τῆς χώρας σχῆμα τῶν μειζόνων πλευρῶν ἑκατέρου πλεο-*
*νεκτοῦντος παρὰ τὸ ἀπεναντίον πλευρὸν τρισχιλίοις σταδίοις,*
*ὅσον ἐστὶ τὸ κοινὸν ἄκρον τῆς τε ἑωθινῆς παραλίας καὶ τῆς*
*μεσημβρινῆς, ἔξω προπεπτωκὸς ἐξ ἴσης ἐφ᾽ ἑκάτερον παρὰ*
*τὴν ἄλλην ἠϊόνα. [Τῆς μὲν οὖν ἑσπερίου πλευρᾶς ἀπὸ τῶν* 2a.
*Καυκασίων ὀρῶν ἐπὶ τὴν νότιον θάλατταν στάδιοι μάλιστα*
*λέγονται μύριοι τρισχίλιοι παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι*
*τῶν ἐκβολῶν αὐτοῦ· ὥστ᾽ ἀπεναντίον ἡ ἑωθινὴ προσλαβοῦσα*
*τοὺς τῆς ἄκρας τρισχιλίους ἔσται μυρίων καὶ ἑξακισχιλίων*
*σταδίων. Τοῦτο μὲν οὖν πλάτος τῆς χώρας τό τ᾽ ἐλάχιστον,*
*καὶ τὸ μέγιστον.] Μῆκος δὲ τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν* 3.
*ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων ἔχοι τις ἂν βεβαιο-*
*τέρως εἰπεῖν· καταμεμέτρηται γὰρ σχοινίοις, καὶ ἔστιν ὁδὸς*
*βασιλικὴ σταδίων μυρίων· τὰ δ᾽ ἐπέκεινα στοχασμῷ λαμβά-* 4.
*νεται διὰ τῶν ἀνάπλων τῶν ἐκ θαλάττης διὰ τοῦ Γάγγου*
*ποταμοῦ μέχρι Παλιβόθρων· εἴη δ᾽ ἂν σταδίων ἑξακισχιλίων.*
*Ἔσται δὲ τὸ πᾶν, ἢ βραχύτατον, μυρίων ἑξακισχιλίων, ὡς* 5.
*ἔκ τε τῆς ἀναγραφῆς τῶν σταθμῶν τῆς πεπιστευμένης μά-*
*λιστα λαβεῖν Ἐρατοσθένης φησί· καὶ ὁ Μεγασθένης οὕτω*
*συναποφαίνεται· [Πατροκλῆς δὲ χιλίοις ἔλαττόν φησι].* Cf.
Arr. Ind. 3. 1—5.

---

IV. 1. *Ἴμαον.* — V.L. *μάον.* Vulg. *Ἴμαον* et *Ἠμωδών.*
3. *μυρίων.* — Codd. *δισμυρίων.* Cf. ann. 23.



Digitized by Google

## FRAGM. V.

Strab. II. 1. 7. p. 69.

### DE MAGNITUDINE INDIAE.

Ἔτι φησὶν ὁ Ἵππαρχος ἐν τῷ δευτέρῳ ὑπομνήματι, αὐτὸν τὸν Ἐρατοσθένη διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν ἐκ τῆς πρὸς Μεγασθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρὸν, τοῦ μὲν Μεγασθένους λέγοντος σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους χιλίοις λείπειν φαμένου.

## FRAGM. VI.

Strab. XV. 1. 12. p. 689—690.

### DE MAGNITUDINE INDIAE.

[Ἐκ δὲ τούτων πάρεστιν ὁρᾶν, ὅσον διαφέρουσιν αἱ τῶν ἄλλων ἀποφάσεις, Κτησίου μὲν οὐκ ἐλάττω τῆς ἄλλης Ἀσίας τὴν Ἰνδικὴν λέγοντος, Ὀνησικρίτου δὲ τρίτον μέρος τῆς οἰκουμένης, Νεάρχου δὲ μηνῶν ὁδὸν τεττάρων τὴν δι' αὐτοῦ τοῦ πεδίου,] Μεγασθένους δὲ καὶ Δηϊμάχου μετριασάντων 690 μᾶλλον· ὑπὲρ γὰρ δισμυρίους τιθέασι σταδίους τὸ ἀπὸ τῆς νοτίου θαλάττης ἐπὶ τὸν Καύκασον. [Δηΐμαχος δ' ὑπὲρ τοὺς τρισμυρίους κατ' ἐνίους τόπους. Πρὸς οὓς ἐν τοῖς πρώτοις λόγοις εἴρηται].

V. ἑξακισχιλίων. — Codd. πεντακισχιλίων.

Digitized by Google

## FRAGM. VII.

**Strab. II. 1. 4. p. 68—69.**

### DE MAGNITUDINE INDIAE.

*Ὁ Ἵππαρχος ἀντιλέγει διαβάλλων τὰς πίστεις· οὔτε
γὰρ Πατροκλέα πιστὸν εἶναι, δυεῖν ἀντιμαρτυρούντων αὐτῷ
69. Δηϊμάχου τε καὶ Μεγασθένους, οἳ καθ' οὓς μὲν τόπους
δισμυρίων εἶναι σταδίων τὸ διάστημά φασι τὸ ἀπὸ τῆς κατὰ
μεσημβρίαν θαλάττης, καθ' οὓς δὲ καὶ τρισμυρίων· τούτους
γε δὴ τοιαῦτα λέγειν, καὶ τοὺς ἀρχαίους πίνακας τούτοις
ὁμολογεῖν.*

## FRAGM. VIII.

**Arr. Ind. 3. 7—8.**

### DE MAGNITUDINE INDIAE.

7. *Μεγασθένει δὲ τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέρην πλάτος* 1.
*ἐστὶ τῆς Ἰνδῶν γῆς, ὅ τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ
λέγει Μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων σταδίων*
8. *εἶναι, ἵνα περ τὸ βραχύτατον αὐτοῦ. Τὸ δὲ ἀπὸ ἄρκτου πρὸς* 2.
*μεσημβρίην, τοῦτο δὲ αὐτῷ μῆκος γίγνεται, καὶ ἐπέχει τριηκοσίους καὶ δισχιλίους καὶ δισμυρίους, ἵνα περ τὸ στενώτατον αὐτοῦ.*

## FRAGM. IX.

**Strab. II. 1. 19. p. 76.**

### DE SEPTENTRIONIBUS OCCIDENTIBUS, ET IN DIVERSAM PARTEM CADENTIBUS UMBRIS.

*(Cf. epit. 3. et p. 29.)*

*Πάλιν δ' ἐκείνου* (scil. ***Eratosthenis***) *τὸν Δηΐμαχον ἰδιώτην ἐνδείξασθαι βουλομένου καὶ ἄπειρον τῶν τοιούτων· οἴεσθαι γὰρ τὴν Ἰνδικὴν μεταξὺ κεῖσθαι τῆς τε φθινοπω-*

Digitized by Google

ρινῆς ἰσημερίας καὶ τῶν τροπῶν τῶν χειμερινῶν, Μεγασθένει τε ἀντιλέγειν φήσαντι ἐν τοῖς νοτίοις μέρεσι τῆς Ἰνδικῆς τάς τε ἄρκτους ἀποκρύπτεσθαι καὶ τὰς σκιὰς ἀντιπίπτειν· μηδέτερον γὰρ τούτων μηδαμοῦ τῆς Ἰνδικῆς συμβαίνειν· ταῦτα δὴ φάσκοντος ἀμαθῶς λέγεσθαι. Cf. p. 77.: Οὐ συναποφαίνεται δέ γε, ἀλλὰ τοῦ Δηϊμάχου φήσαντος μηδαμοῦ τῆς Ἰνδικῆς μήτ' ἀποκρύπτεσθαι τὰς ἄρκτους μήτ' ἀντιπίπτειν τὰς σκιάς, ἅπερ ὑπείληφεν ὁ Μεγασθένης, ἀπειρίαν αὐτοῦ καταγιγνώσκει.

## FRAGM. X.

Plin. h. n. VI. 22. 6.

### DE SEPTENTRIONIBUS OCCIDENTIBUS.

*Ab iis* (scil. Prasiis) *in interiore situ Monedes et Suari, quorum mons Maleus, in quo umbrae ad septentrionem cadunt hieme, aestate in austrum, per senos menses. Septentriones eo tractu semel in anno apparere nec nisi XV. diebus, Baeton auctor est: hoc idem pluribus locis Indiae fieri, Megasthenes.*

Cf. Solin. 52. 13.

*Ultra Palibotram mons Maleus, in quo umbrae hieme in septentriones, aestate in austros cadunt, vicissitudine hac durante mensibus senis. Septentriones in eo tractu in anno semel nec ultra quindecim dies parent, sicut auctor est Beton, qui perhibet, hoc in plurimis Indiae locis evenire.*

## FRAGM. XI.

Strab. XV. 1. 20. p. 693.

### DE FECUNDITATE INDIAE.

*(Cf. epit. 5., 9.)*

Μεγασθένης δὲ τὴν εὐδαιμονίαν τῆς Ἰνδικῆς ἐπισημαίνεται τῷ δίκαρπον εἶναι καὶ δίφορον· [καθάπερ καὶ Ἐρατοσθένης ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινόν, τὸν δὲ

Digitized by Google

θερινόν, καὶ ὄμβρον ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους καιροὺς ἄνομβρον· ὥστε εὐετηρίαν ἐκ τούτου συμβαίνειν, ἀφόρου μηδέποτε τῆς γῆς οὔσης· τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλοὺς καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις, τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς καὶ τοῦ ποταμίου. Τρόπον δή τινα λέγειν βούλεται, διότι ἡ παρὰ τοῖς ἄλλοις λεγομένη πέψις καὶ καρπῶν καὶ χυμῶν παρ' ἐκείνοις ἕψησίς ἐστι· καὶ κατεργάζεται τοσοῦτον εἰς εὐστομίαν, ὅσον καὶ ἡ διὰ πυρός· διὸ καὶ τοὺς κλάδους φησὶν εὐκαμπεῖς εἶναι τῶν δένδρων, ἐξ ὧν οἱ τροχοί· ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον.]

**Cf. Eratosth. ap. Strab. XV. 1. 13. p. 690.**

Ἐκ δὲ τῆς ἀναθυμιάσεως τῶν τοσούτων ποταμῶν καὶ ἐκ τῶν ἐτησίων, ὡς Ἐρατοσθένης φησί, βρέχεται τοῖς θερινοῖς ὄμβροις ἡ Ἰνδική, καὶ λιμνάζει τὰ πεδία· ἐν μὲν οὖν τούτοις τοῖς ὄμβροις λῖνον σπείρεται καὶ κέγχρον· πρὸς τούτοις σήσαμον, ὄρυζα, βόσμορον· τοῖς δὲ χειμερινοῖς καιροῖς πυροί, κριθαί, ὄσπρια, καὶ ἄλλοι καρποὶ ἐδώδιμοι, ὧν ἡμεῖς ἄπειροι.

## FRAGM. XII.

**Strab. XV. 1. 37. p. 703.**

### DE QUIBUSDAM INDIAE BESTIIS.

Καὶ τίγρεις ἐν τοῖς Πρασίοις φησὶν ὁ Μεγασθένης 1.
γίνεσθαι μεγίστους, σχεδὸν δέ τι καὶ διπλασίους λεόντων· δυνατοὺς δέ, ὥστε τῶν ἡμέρων τινὰ ἀγόμενον ὑπὸ τεττάρων, τῷ ὀπισθίῳ σκέλει δραξάμενον ἡμιόνου, βιάσασθαι καὶ ἑλκῦσαι πρὸς ἑαυτόν. Κερκοπιθήκους δὲ μείζους τῶν μεγίστων 2.
κυνῶν, λευκοὺς πλὴν τοῦ προσώπου· τοῦτο δ' εἶναι μέλαν· παρ' ἄλλοις δ' ἀνάπαλιν· τὰς δὲ κέρκους μείζους δυοῖν πηχεων· ἡμερωτάτους δὲ καὶ οὐ κακοήθεις περὶ ἐπιθέσεις καὶ

Digitized by Google

3. κλωπάς. Λίθους δ' ὀρύττεσθαι λιβανόχρους, γλυκυτέρους
4. σύκων ἢ μέλιτος. Ἀλλαχοῦ δὲ διπήχεις ὄφεις ὑμενοπτέρους
ὥσπερ αἱ νυκτερίδες· καὶ τούτους δὲ νύκτωρ πέτεσθαι,
σταλαγμοὺς ἀφιέντας οὔρων, τοὺς δὲ ἱδρώτων, διασήποντας
τὸν χρῶτα τοῦ μὴ φυλαξαμένου· καὶ σκορπίους εἶναι πτηνοὺς
5. ὑπερβάλλοντας μεγέθεσι. Φύεσθαι δὲ καὶ ἔβενον. Εἶναι δὲ
καὶ κύνας ἀλκίμους, οὐ πρότερον μεθιέντας τὸ δηχθέν, πρὶν
εἰς τοὺς ῥώθωνας ὕδωρ καταχυθῆναι· ἐνίοις δ' ὑπὸ προθυ-
μίας ἐν τῷ δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμούς, τοῖς
δὲ καὶ ἐκπίπτειν· κατασχεθῆναι δὲ καὶ λέοντα ὑπὸ κυνὸς
καὶ ταῦρον· τὸν δὲ ταῦρον καὶ ἀποθανεῖν, κρατούμενον τοῦ
ῥύγχους πρότερον ἢ ἀφεθῆναι.

---

## FRAGM. XIII*).

### Aelian. h. a. XVII. 39.

### DE SIMIIS INDICIS.

*(Cf. Fragm. XII. 2.)*

1. Ἐν τῇ Πραξιακῇ χώρᾳ, Ἰνδῶν δὲ αὕτη ἐστίν, Μεγα-
σθένης φησὶ πιθήκους εἶναι τῶν μεγίστων κυνῶν οὐ μείους,
ἔχειν δὲ καὶ οὐρὰς πηχῶν πέντε· προςπεφυκέναι δὲ ἄρα
αὐτοῖς καὶ προκόμια, καὶ πώγωνας καθειμένους καὶ βαθεῖς·
2. καὶ τὸ μὲν πρόσωπον εἶναι πᾶν λευκούς, τὸ σῶμα δὲ μέλανας
ἰδεῖν· ἡμέρους δὲ καὶ φιλανθρωποτάτους, καὶ τὸ τοῖς ἀλλα-
χόθι πιθήκοις συμφυὲς οὐκ ἔχειν τὸ κακόηθες.

---

*) FRAGM. XIII. B.

Aelian h. a. XVI. 10.

De simiis Indicis.

1. Ἐν Πραισίοις δε τοῖς Ἰνδικοῖς εἶναι γένος πιθήκων φασὶν ἀνθρωπόνουν,
καὶ ἰδεῖν δέ εἰσι κατὰ τοὺς Ὑρκανοὺς κύνας τὸ μέγεθος· προκομία τε αὐτῶν
ὁρᾶται συμφυής, εἴποι δ' ἂν ὁ μὴ τὸ ἀληθὲς εἰδὼς ἀσκητὰς εἶναι αὐτάς·
γένειον δὲ αὐτοῖς ὑποπέφυκε σατυρῶδες, ἡ δὲ οὐρὰ κατὰ τὴν τῶν λεόντων
2. ἀλκαίαν ἐστί· καὶ τὸ μὲν ἄλλο πᾶν σῶμα πεφύκασι λευκοί, τὴν δὲ κε-
φαλὴν καὶ τὴν οὐρὰν ἄκραν εἰσὶ πυρσοί· σώφρονες δὲ καὶ φύσει τιθασοί·
εἰσὶ δὲ ὑλαῖοι τὴν δίαιταν καὶ τὸ γένος, καὶ σιτοῦνται τῶν ὀρέων τὰ

Digitized by Google

## FRAGM. XIV.

**Aelian. h. a. XVI. 41.**

### DE ALATIS SCORPIIS ET SERPENTIBUS.

(*Cf. fragm. XII. 4.*)

*Μεγασθένης φησὶ κατὰ τὴν Ἰνδικὴν σκορπίους γί-* 1.
*νεσθαι πτερωτοὺς μεγέθει μεγίστους, τὸ κέντρον δὲ ἐγχρί-*
*πτειν τοῖς Εὐρωπαίοις παραπλησίως· γίνεσθαι δὲ καὶ ὄφεις* 2.
*αὐτόθι, καὶ τούτους πτηνούς· ἐπιφοιτᾶν δὲ οὐ μεθ' ἡμέραν,*
*ἀλλὰ νύκτωρ, καὶ ἀφιέναι ἐξ αὐτῶν οὖρον, ὅπερ οὖν ἐὰν*
*κατά τινος ἀποστάξῃ σώματος, σῆψιν ἐργάζεται παραχρῆμα.*
*Καὶ τὰ μὲν τοῦ Μεγασθένους ταῦτα.*

## FRAGM. XV.

**Strab. XV. 1. 56. p. 710—711.**

### DE BESTIIS INDIAE ET ARUNDINE.

*Φησὶ γὰρ* (scil. *ὁ Μεγασθένης* Strab. 709.) - - *πε-* 1.
*τροκυλιστὰς εἶναι κερκοπιθήκους, οἳ λίθους κατακυλίουσι*
*κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας· τά τε παρ' ἡμῖν ἥμερα* 2.
*ζῶα τὰ πλεῖστα παρ' ἐκείνοις ἄγρια εἶναι· ἵππους τε λέγει*
*μονοκέρωτας ἐλαφοκράνους· καλάμους δὲ μῆκος μὲν τριά-* 3.
*κοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς δὲ χαμαικλινεῖς πεντήκοντα·*
711 *πάχος δέ, ὥστε τὴν διάμετρον τοῖς μὲν εἶναι τριπήχη, τοῖς*
*δὲ διπλασίαν.*

---

*ἄγρια. Φοιτῶσι δὲ ἀθρόοι εἰς τὸ τῆς Λατάγης προάστειον, πόλις δέ ἐστιν* 3.
*Ἰνδῶν ἡ Λατάγη, καὶ τὴν προτεθειμένην αὐτοῖς ἐκ βασιλέως ἑφθὴν ὄρυζαν*
*σιτοῦνται· ἀνὰ πᾶσαν δὲ ἡμέραν ἡ δαὶς αὐτοῖς εὐτρεπὴς πρόκειται· ἐμ-*
*φορηθέντας δὲ ἄρα αὐτοὺς ἀναχωρεῖν αὖθις ἐς ἤθη τὰ ὑλαῖα φασι σὺν*
*κόσμῳ, καὶ σίνεσθαι τῶν ἐν ποσὶν οὐδὲ ἕν.*

Digitized by Google

## FRAGM. XV. B.

### Aelian. h. a. XVI. 20—21.

### DE QUIBUSDAM INDIAE BESTIIS.

*(Cf. fragm. XV. 2. 1.)*

1. (20.) Ἐν τοῖς χωρίοις τοῖς ἐν Ἰνδίᾳ, λέγω δὴ τοῖς ἐνδοτάτω, ὄρη φα-
σὶν εἶναι δύσβατά τε καὶ ἔνθηρα· καὶ ἔχειν ζῷα ὅσα καὶ ἡ καθ' ἡμᾶς τρέφει
γῆ, ἄγρια δέ· καὶ γάρ τοι καὶ τὰς ὄϊς τὰς ἐκεῖ φασιν εἶναι καὶ ταύτας θηρία,
καὶ κύνας καὶ αἶγας καὶ βοῦς, αὐτόνομά τε ἀλᾶσθαι καὶ ἐλεύθερα, ἀφειμένα
2. νομευτικῆς ἀρχῆς. Πλήθη δὲ αὐτῶν καὶ ἀριθμοῦ πλείω φασὶν οἱ τούτων
συγγραφεῖς, καὶ οἱ τῶν Ἰνδῶν λόγιοι· ἐν δὴ τοῖς καὶ τοὺς Βραχμᾶνας ἀριθμεῖν
3. ἄξιον, καὶ γάρ τοι καὶ ἐκεῖνοι ὑπὲρ τῶνδε ὁμολογοῦσι τὰ αὐτά. Λέγεται δὲ
καὶ ζῷον ἐν τούτοις εἶναι μονόκερων, καὶ ὑπ' αὐτῶν ὀνομάζεσθαι καρτάζωνον·
καὶ μέγεθος μὲν ἔχειν ἵππου τοῦ τελείου, καὶ λόφον, καὶ λάχνην ἔχειν ξαν-
θήν, ποδῶν δὲ ἄριστα εἰληχέναι, καὶ εἶναι ὤκιστον, καὶ τοὺς μὲν πόδας ἀδιαρ-
4. θρώτους τε καὶ ἐμφερεῖς ἐλέφαντι συμπεφυκέναι, τὴν δὲ οὐρὰν συός· μέσον δὲ
τῶν ὀφρύων ἔχειν ἐκπεφυκὸς κέρας, οὐ λεῖον, ἀλλὰ ἑλιγμοὺς ἔχον τινὰς καὶ
μάλα αὐτοφυεῖς, καὶ εἶναι μέλαν τὴν χρόαν· λέγεται δὲ καὶ ὀξύτατον εἶναι
τὸ κέρας ἐκεῖνο· φωνὴν δὲ ἔχειν τὸ θηρίον ἀκούω τοῦτο πάντων ἀπηχεστάτην
τε καὶ γεγωνοτάτην· καὶ τῶν μὲν ἄλλων αὐτῷ ζῴων προσιόντων φέρειν, καὶ
5. πρᾷον εἶναι, λέγουσι δὲ ἄρα πρὸς τὸ ὁμόφυλον δύσεριν εἶναί πως. Καὶ οὐ
μόνον φασὶ τοῖς ἄῤῥεσιν εἶναί τινα συμφυῆ κύριξίν τε πρὸς ἀλλήλους καὶ μά-
χην, ἀλλὰ καὶ πρὸς τὰς θηλείας ἔχουσι θυμὸν τὸν αὐτὸν, καὶ προάγειν τε
τὴν φιλονεικίαν καὶ μέχρι θανάτου ἡττηθέντα ἐξάγουσαν· ἔστι μὲν οὖν καὶ διὰ
6. παντὸς τοῦ σώματος ῥωμαλέον, ἀλκὴ δέ οἱ τοῦ κέρατος ἄμαχός ἐστι. Νομὰς
δὲ ἐρήμους ἀσπάζεται καὶ πλανᾶται μόνον· ὥρᾳ δὲ ἀφροδίτης τῆς σφετέρας
συνδυασθεὶς πρὸς τὴν θήλειαν πεπράϋνται, καὶ μέντοι καὶ συννόμω ἐστόν·
εἶτα ταύτης παραδραμούσης καὶ τῆς θηλείας κυούσης, ἐκθηριοῦται αὖθις, καὶ
7. μονίας ἐστὶν ὅδε ὁ Ἰνδὸς καρτάζωνος. Τούτων οὖν πώλους πάνυ νεαροὺς κομί-
ζεσθαί φασι τῷ τῶν Πραισίων βασιλεῖ, καὶ τὴν ἀλκὴν ἐν ἀλλήλοις ἀποδείκνυσθαι
κατὰ τὰς θέας τὰς πανηγυρικάς· τέλειον δὲ ἁλῶναί ποτε οὐδεὶς μέμνηται.
8. (21.) Ὑπερελθόντι τὰ ὄρη τὰ γειτνιῶντα τοῖς Ἰνδοῖς κατὰ τὴν ἐνδο-
τάτην πλευρὰν φανοῦνται, φασίν, αὐλῶνες δασύτατοι, καὶ καλεῖταί γε ὑπ' Ἰν-
δῶν ὁ χῶρος Κόρουδα· ἀλῶνται δὲ ἄρα, φασίν, ἐν τοῖσδε τοῖς αὐλῶσι ζῷα
Σατύροις ἐμφερῆ τὰς μορφάς, τὸ πᾶν σῶμα λάσια, καὶ ἔχει κατὰ τῆς ἰξύος
9. ἵππουριν. Καὶ καθ' ἑαυτὰ μὲν μὴ ἐνοχλούμενα διατρίβειν ἐν τοῖς δρυμοῖς
ὑλοτραγοῦντα, ὅταν δὲ αἴσθωνται κυνηγετῶν κτύπου, καὶ ἀκούσωσι κυνῶν ὑλα-
κῆς, ἀναθέουσιν εἰς τὰς ἀκρωρείας αὐτὰς ἀμηχάνῳ τῷ τάχει· καὶ γάρ εἰσι ταῖς
10. ὀρειβασίαις ἐντριβεῖς. Καὶ ἀπομάχονται πέτρας τινὰς κυλινδοῦντες κατὰ τῶν
11. ἐπιόντων, καὶ καταλαμβανόμενοί γε πολλοὶ διαφθείρονται. Καὶ ἐκ τούτων

Digitized by Google

*εἰσὶν ἐκεῖνοι δυσάλωτοι· καὶ μόλις ποτὲ καὶ διὰ μακροῦ τινὰς αὐτῶν εἰς Πραισίους κομίζεσθαι λέγουσι· καὶ τούτων μέντοι ἢ τὰ νοσοῦντα ἐκομίσθη, ἢ θήλεά τινα καὶ κυοῦντα· καὶ συνέβη γε θηραθῆναι τοῖς μὲν διὰ τὴν νωθείαν, ταῖς δὲ διὰ τὸν τῆς γαστρὸς ὄγκον.* Cf. Plin. h..n. VII. 2. 17.

## FRAGM. XVI.

Plin. h. n. VIII. 14. 1.

### DE BOA CONSTRICTORE.

***Megasthenes scribit, in India serpentes in tantum magnitudinem adolescere, ut solidos hauriant cervos taurosque.***

Solin. 52. 33.

***Enormitas in serpentibus tanta est, ut cervos et animantium alia ad parem molem tota hauriant.***

## FRAGM. XVII.

Aelian. h. a. VIII. 7.

### DE GYMNOTO ELECTRICO.

*Μεγασθένους ἀκούω λέγοντος περὶ τὴν τῶν Ἰνδῶν θάλατταν γίγνεσθαί τι ἰχθύδιον, καὶ τοῦτο μὲν ὅταν ζῇ ἀθέατον εἶναι, κάτω που νηχόμενον καὶ ἐν βυθῷ, ἀποθανὸν δὲ ἀναπλεῖν· οὗ τὸν ἁψάμενον λειποθυμεῖν καὶ ἐκθνήσκειν τὰ πρῶτα, εἶτα μέντοι καὶ ἀποθνήσκειν.*

## FRAGM. XVIII.

Plin. h. n. VI. 24. 1.

### DE TAPROBANE.

***(Taprobanen -- scripsit) Megasthenes flumine dividi incolasque Palaeogonos appellari, auri margaritarumque grandium fertiliores quam Indos.***

Solin. 53. 3.

***(Taprobane) scinditur amni interfluo. Nam pars eius bestiis et elephantis repleta est maioribus multo, quam fert India, partem homines tenent.***

---

XV. B. 8. *Κόρουδα.* — V. L. *Κόλουνδα.*

Digitized by Google

## FRAGM. XIX.

Antigon. Caryst. 147.

### DE ARBORIBUS MARITIMIS.

*Μεγασθένην δὲ τὸν τὰ Ἰνδικὰ γεγραφότα ἱστορεῖν, ἐν τῇ κατὰ τὴν Ἰνδικὴν θαλάττῃ δένδρεα φύεσθαι.*

## FRAGM. XX.

Arr. Ind. 4. 2—13.

### DE INDO ET GANGE.

*(Cf. epit. 15—19. et p. 30—37.)*

1. Αὐτοῖν τοῖν μεγίστοιν ποταμοῖν, τοῦ τε Γάγγεω καὶ τοῦ 2.
Ἰνδοῦ τὸν Γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν Μεγασθένης
2. ἀνέγραψεν, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν. Αὐτόν 3.
τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς αὐτὸν
τόν τε Καϊνὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσ-
3. σόανον, πάντας πλωτούς· ἔτι δὲ Σῶνόν τε ποταμὸν καὶ Σιτ-

## FRAGM. XX. B.

Plin. h. n. VI. 21. 9 — 22. 1.

### DE GANGE.

1. *Flumina Prinas et Cainas (quod in Gangem influit) ambo navigabilia. Gentes Calingae proximi mari et supra Mandei, Malli, quorum mons Mallus, finisque eius tractus est Ganges.*
2. *Hunc alii incertis fontibus ut Nilum, rigantemque vicina* 22.
*eodem modo, alii in Scythicis montibus nasci dixerunt. Influere in eum XIX. amnes. Ex iis navigabiles praeter iam*
3. *dictos Condochatem, Erannoboam, Cosoagum, Sonum. Alii*

---

XX. 2. *Κοσσόανον.* — Legendum videtur ex Plinio *Κοσσόαγον.* Cf. annot. 31.

3. *Σιττόκατιν.* — V.L. *Σιττόκεστιν.*

*Αγόρανιν.* — V.L. *Ἀγύρανιν.*

---

XX. B. 1. *Prinas.* — V.L. *Pumas.*

2. *Condochatem.* — V.L. *Canucam, Vamam.*

Digitized by Google

4. τόκατιν καὶ Σολόματιν, καὶ τούτους πλωτούς. ἐπὶ δὲ Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν καὶ Ὤμαλιν· ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμενάσης τε μέγας 4.
ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος Ἰνδικοῦ
5. τοῦ Μανδιαδινῶν ῥέων· καὶ ἐπὶ τούτοισιν Ἄμυστις παρὰ 5.
πόλιν Καταδούπην καὶ Ὀξύμαγις ἐπὶ Παζάλαις καλουμένοισι καὶ Ἐρέννεσις ἐν Μάθαις ἔθνει Ἰνδικῷ ξυμβάλλει τῷ Γάγγῃ.
6. Τούτων λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου 6.
7. ἀποδέοντα, ἵνα περ ναυσίπορος ὁ Μαίανδρος. Εἶναι ὦν τὸ 7.
εὖρος τῷ Γάγγῃ, ἔνθα περ αὐτὸς ἑωϋτοῦ στενώτατος, εἰς ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄποπτον εἶναι τὴν πέραν χώρην, ἵνα περ χθαμαλή τε ἐστὶ καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα.

---

*cum magno fragore ipsius statim fontis erumpere, deiectumque per scopulosa et abrupta, ubi primum molles planities contingat, in quodam lacu hospitari, inde lenem fluere, ubi minimum, VIII. mill. passuum latitudine, ubi modicum, stadiorum centum, altitudine nusquam minore passuum XX.*

Solin. 52. 6 — 7.

6. *Maximi in ea amnes Ganges et Indus, quorum Gangen* 1.
*quidam fontibus incertis nasci et Nili modo exultare contendunt:*
7. *alii volunt a Scythicis montibus exoriri. Hypanis etiam* 2.
*ibi nobilissimus fluvius, qui Alexandri M. iter terminavit, sicuti arae in ripa eius positae probant. Minima Gangis la-* 3.
*titudo per octo millia passuum, maxima per viginti patet, altitudo, ubi vadosissimus est, mensuram centum pedum devorat.*

Cf. fragm. XXV. 1.

Λέγουσιν οἱ μὲν τριάκοντα σταδίων τοὐλάχιστον πλάτος, οἱ δὲ καὶ τριῶν· Μεγασθένης δέ, ὅταν ἡ μέτριος, καὶ εἰς ἑκατὸν εὐρύνεσθαι, βάθος δὲ εἴκοσι ὀργυιῶν τοὐλάχιστον.

---

XX. 4. Κομμενάσης. — V. L. Κομμινάσης.

5. Ὀξύμαγις. — Legendum videtur Ὀξύματις ex sanscrita voce *Ixumatî*. Cf. ann. 31.

Παζάλαις. — V. L. Πασάλαις. Sanscr. *Pank'âla.*

Ἐρέννεσις. — VV. LL. Ἐρρένυσις, Ἐρινέσης.

Digitized by Google

8. Τῷ δὲ Ἰνδῷ ἐς ταὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν 8.
Καμβισθόλοις, παρειληφὼς τόν τε Ὕφασιν ἐν Ἀστράβαις
καὶ τὸν Σαράγγην ἐκ Κηκέων καὶ τὸν Νεῦδρον ἐξ Ἀττακη-
9. νῶν, ἐς Ἀκεσίνην ἐμβάλλουσιν. Ὑδάσπης δὲ ἐν Ὀξυδράκαις, 9.
ἄγων ἅμα οἱ τὸν Σίναρον ἐν Ἀρίσπαις, ἐς τὸν Ἀκεσίνην ἐκ-
διδοῖ καὶ οὗτος. Ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει τῷ 10.
Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν Ἀκεσίνην
10. ἐκδιδοῖ· Τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ τῇ ἐπικλήσει
ἐκνικήσας αὐτὸς τῷ ἑωϋτοῦ ἤδη ὀνόματι ἐσβάλλει ἐς τὸν
11. Ἰνδόν. Κωφὴν δὲ ἐν Πευκελαΐτιδι ἅμα οἱ ἄγων Μαλάμαν- 11.
τόν τε καὶ Σόαστον καὶ Γαροίαν ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. Κα- 12.
θύπερθεν δὲ τουτέων Πτάρενος καὶ Σάπαρνος, οὐ πολὺ διέ-
12. χοντες, ἐμβάλλουσιν ἐς τὸν Ἰνδόν. Σόανος δὲ ἐκ τῆς ὀρεινῆς
τῆς Ἀβισσαρέων ἔρημος ἄλλου ποταμοῦ ἐκδιδοῖ ἐς αὐτόν.
Καὶ τουτέων τοὺς πολλοὺς Μεγασθένης λέγει, ὅτι πλωτοί
εἰσιν. [Οὔκουν ἀπιστίην χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ 13.
τοῦ Γάγγεω, μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον
καὶ τοῦ Νείλου τὸ ὕδωρ κ. τ. λ.]

---

XX. 8. *Ἀστρόβαις*. — V. L. *Ἀστρύβαις*.

*ἐκ Κηκέων*. — Sic primae editiones (*ἐκκηκέων*). VV. LL. *ἐκ Κηνέων*, *ἐκ Μηκέων*. Sanscritum nomen est *Cêcaja*. Cf. Lassen. pentap. 12.

*ἐμβάλλουσιν*. — Editores coniecerunt *ἐμβάλλει*.

XX. 11. *Πευκελαΐτιδι*. — V. L. *Πευκελαιήτιδι*.

*Μαλάμαντον*. — V. L. *Μάλαντον*.

*Γαροίαν*. — V. L. *Γαῤῥοίαν*.

*Πτάρενος*. — V. L. *Πάρενος*.

12. *Σόανος*. V. L. *Σύαμος*.

*Ἀβισσαρέων*. — Emendatio est Lassenii Ind. Alterth. I. 94. Codd. *Σαβίσσα ῥέων*, *Βησσαρέων*. Sanscrite populus vocatur *Ab'isâra*. Cf. annot. 29.

Digitized by Google

## FRAGM. XXI.

**Arr. Ind. 6. 2 — 3.**

### DE SILA FLUVIO.

*(Cf. epit. 21. et annot. 32.)*

2. Ἐπεὶ καὶ τόδε λέγει Μεγασθένης ὑπὲρ ποταμοῦ Ἰν- 1.
δικοῦ, Σίλαν μὲν εἶναί οἱ οὔνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπω-
νύμου τοῦ ποταμοῦ διὰ τῆς χώρης τῆς Σιλέων καὶ τούτων
3. ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης. Τὸ δὲ ὕδωρ 2.
παρέχεσθαι τοιόνδε· οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, οὔτε τι νήχεσθαι ἐπ᾽ αὐτοῦ, οὔτε τι ἐπιπλεῖν, ἀλλὰ πάντα γὰρ ἐς βυθὸν δύνειν· οὕτω τοι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον.

## FRAGM. XXII.

**Boissonade: Anecd. graec. I. p. 419.**

### DE SILA FLUVIO.

Ὅτι ποταμός ἐστιν ἐν τῇ Ἰνδικῇ ὁ καλούμενος Σίλας διὰ τὸ ἀπὸ κρήνης ὁμωνύμου ῥέειν, ἐν ᾧ οὐδὲν τῶν ἐμβαλλομένων ἐπιπλεῖ, πάντα δὲ εἰς τὸν βυθὸν καταδύεται παραδόξως.

## FRAGM. XXIII.

**Strab. XV. I. 38. p. 703.**

### DE SILA FLUVIO.

(Φησὶν ὁ Μεγασθένης --) ἐν δὲ τῇ ὀρεινῇ Σίλαν ποταμὸν εἶναι, ᾧ μηδὲν ἐπιπλεῖ. Δημόκριτον μὲν οὖν ἀπιστεῖν ἅτε πολλὴν τῆς Ἀσίας πεπλανημένον· καὶ Ἀριστοτέλης δὲ ἀπιστεῖ.

---

XXI. 2. *βυθόν*. — VV. LL. *βυσσόν*, *ἄβυσσον*.
XXIII. *Σίλαν*. — Sic epit. Strab. Codd. *Σιλίαν*.

Digitized by Google

## FRAGM. XXIV.

Arr. Ind. 5. 2.

### DE NUMERO FLUMINUM INDICORUM.

*Καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον· ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοὶ ναυσίποροι πάντες.* [*Ἀλλ' οὐδὲ Μεγασθένης πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης κ. τ. λ.*]

Digitized by Google